πέποιθ' ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω,
κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσῴσων βίον,
μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
ΧΟ. ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
ΙΑ. τί δ' ἔστιν; ἦ που κἄμ' ἀποκτεῖναι θέλει;
ΧΟ. παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
ΙΑ. οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
ΧΟ. ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.
ΙΑ. ποῦ γάρ νιν ἔκτειν'; ἐντὸς ἢ ἔξωθεν δόμων;
ΧΟ. πύλας ἀνοίξας σῶν τέκνων ὄψει φόνον.
ΙΑ. χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν,
τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι φόνῳ.
ΜΗ. τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'. εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ', εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ.
τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
ΙΑ. ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα κἄμ' ἄπαιδ' ἀπώλεσας·

---

1299. *κοιράνους*] *τυράννους B E.* 1300. *ἀθῶος* libri. | *φεύξεται* schol. p. 1302. *ἔρξουσιν B a P* corr. *b.* 1303. *ἐκσώ** P ἐκσῶσαι p.* 1304. *μοι*] *νιν* Elmsleius. | *οἱ* (*ο* in ras. scr. m. 1) *B.* 1307. 8. suspecti Lentingio. prior certe superfluus. 1307. *ἰάσον B.* 1311. *σῶν*] *τῶν σῶν E.* 1312. *ἢ ἔξωθεν Sb ἢ 'ξωθεν E a ἦξωθεν B.* 1314. *κλῆδας B α* sup. *ας* scr. *b κλεῖδας E.* 1315: *διπλᾶ κακά E.* 1316. corruptus. spurium censet C. Schenkelius philol. anz. IV p. 487. | *τίσωμαι S*] *τίσομαι r.* | *φόνῳ*] *δίκην Sb*s. *τίσουσαν φόνον* Weilius. 1317. *τάσδε — πύλας*] *τούσδε — λόγους* Chr. pat. 121. 437. cf. Aristoph. Nub. 1397. Heliodor. Aethiop. I, 8 p. 230 Didot. 1320. *οὐ ψαύσεις B γρ. οὐχ' ἅψῃ b*s. 1321. *ἡλίου S* (*ἥλιος p*). 1323. *μῖσος B μῦσος b* dein alia m. rursus scr. *μῖσος.* 1326. *καί μ' E.*